# TEZAUR LITURGIC

## 26 IUNIE

## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.CUVIOS DAVID DE LA TESALONIC

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 26 ΙΟΥΝΙΟΥ
# ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΔΑΒΙΔ
# ΤΟΥ ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗ
# ΠΑΡΑΚΛΗΣΙΣ

**ΠΟΙΗΜΑ ΓΕΡΑΣΙΜΟΥ Μ. ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικὴν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*
*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ἀγγελικῶς ἐπὶ τῆς γῆς βιοτεύσας, ἀγγελικῆς κατηξιώθης εὐκλείας, καὶ τοῦ φωτὸς τοῦ θείου πλήρης γέγονας· ὅθεν πάσης λύτρωσαι, συμφορᾶς καὶ ἀνάγκης, καὶ παντοίων θλίψεων, τοὺς πιστῶς προσιόντας, τῇ σῇ πρεσβείᾳ Ὅσιε Δαβίδ, ὡς παῤῥησίαν, πλουτήσας πρὸς Κύριον.

*Δόξα.*

Θεσσαλονίκη ἡ περίβλεπτος πόλις, τῇ σῇ ἀσκήσει τῇ ἁγίᾳ καυχᾶται, καὶ σὲ μεσίτην ἔχουσα πρὸς Κύριον, θείας ἀγαθότητος, δαψιλῶς ἀξιοῦται, Πάτερ τῇ πρεσβείᾳ σου, καὶ θερμῇ ἀντιλήψει· ἀλλὰ Δαβὶδ μὴ παύσῃ εὐλογῶν, τοὺς τῷ ἁγίῳ ναῷ σου προστρέχοντας.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Σὴν ἀρωγήν, Δαβίδ, ἡμῖν δίδου. Γερασίμου.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Στενὴν διανύσας Πάτερ ὁδόν, στενώσεως πάσης, τῶν ἐν βίῳ δυσχερειῶν, Δαβὶδ πλατυσμῷ τῶν πρεσβειῶν σου, ῥῦσαι ἡμᾶς τοὺς τιμῶντάς σε Ὅσιε.

Ἡλίου ἀκτῖσι τοῦ νοητοῦ, διάλυσον Πάτερ, τῶν παθῶν μου τὸν σκοτασμόν, καὶ λάμψον μου φέγγος εὐφροσύνης, τῇ φωτοφόρῳ πρεσβείᾳ σου Ὅσιε.

Ναμάτων ἀΰλων ἐπιῤῥοάς, ἐπόμβρησον Πάτερ, τοῖς ἐν ἄνθραξι τῶν παθῶν, δεινῶς θλιβομένοις θεοφόρε, ὡς πρεσβευτὴς ἡμῶν μέγας πρὸς Κύριον.

*Θεοτοκίον.*

Ἁγνείας θησαύρισμα παμφαές, ἁγνόν με συντήρει, καὶ καρδίᾳ τε καὶ νοΐ, καὶ πάσῃ αἰσθήσει Θεοτόκε, καὶ τῷ φωτὶ τῆς σῆς δόξης με λάμπρυνον.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ῥώμην ἄνωθεν δίδου καὶ ἀληθῆ δύναμιν, τοῦ πατεῖν ἀεὶ τοῦ δολίου, τὰ μηχανήματα, Δαβὶδ μακάριε, καὶ φωτισμὸν και εἰρήνην, τοῖς θερμῶς προστρέχουσι, τῇ ἀντιλήψει σου.

Ὡς ἐν δένδρῳ διῆλθες τὴν σὴν ζωὴν Ὅσιε, οὕτω καρποφόρον με δένδρον, Πάτερ ἀνάδειξον, βίου σεμνότητος, τῇ μυστικῇ γεωργίᾳ, τῆς ἐπιστασίας σου, Δαβὶδ μακάριε.

Γέρας ἅγιον Πάτερ ὡς ἀληθῶς κέκτηται, ἡ Θεσσαλονίκη τὸν τόπον, τῆς σῆς ἀσκήσεως, ἔνθα προστρέχοντες, οἱ εὐσεβεῖς καθ’ ἑκάστην, ἐξ αὐτοῦ λαμβάνουσιν, χάριν καὶ ἔλεος.

*Θεοτοκίον.*

Ἡ περίδοξος πόλις καὶ λογικὴ Δέσποινα, τοῦ παμβασιλέως τῆς δόξης, καὶ Παντοκράτορος, σκεῦός με εὔχρηστον, τῆς θεϊκῆς ἐπιπνοίας, βίου καθαρότητι, δεῖξον καὶ σῶσόν με.

Διάσωσον, Δαβὶδ παμμάκαρ παντοίων πειρατηρίων, ἱκεσίᾳ τῇ ἐκ σοῦ πρὸς Κύριον, τοὺς ἐξαιτοῦντας τὴν θείαν σου προστασίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτης ἡμῶν ἐν πάσαις περιστάσεσι, Δαβὶδ θαυμαστέ, καὶ ἀντιλήπτωρ φάνηθι, ἐπερχομένων θλίψεων, καὶ ἀπαύστως Χριστόν, διδόναι ἡμῖν πταισμάτων ἄφεσιν.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Νοσημάτων ἀπάλλαξον, τῶν κατὰ ψυχὴν καὶ σῶμα μακάριε, τοὺς προστρέχοντας τῇ σκέπῃ σου, καὶ ἐκδεχομένους τὴν πρεσβείαν σου.

Δωρεῶν τῶν τοῦ Πνεύματος, σκεῦος πολυτίμητον ὤφθης Ἅγιε, δωρεὰν ὅθεν πρυτάνευσον, Πάτερ τοῖς αἰτοῦσι τὰ αἰτήματα.

Ἁγιάζει ἑκάστοτε, τῇ ἀΰλῳ ἐπιφοιτήσει σου, ὁ ναός σου ὁ πανάγιος, τῶν πιστῶς φοιτώντων τὰ νοήματα.

Βασιλέα τῆς κτίσεως, Κόρη ἀποῤῥήτως σαρκὶ κυήσασα, βασιλεύειν με ἐνίσχυσον, κατὰ τῶν παθῶν τῶν τοῦ ἀλάστορος.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἴδε συμπαθῶς, πατρικῷ σου Πάτερ ὄμματι, τοὺς φοιτῶντας τῷ ἁγίῳ σου ναῷ, καὶ ἑκάστῳ τούτων δίδου ὧν ἂν δέηται.

Δόξης κοινωνός, αἰωνίου πέλων Ὅσιε, λύτρωσαί με ὦ Δαβὶδ θαυματουργέ, ἀδοξίας χαλεπῆς παθῶν τοῦ χείρονος.

Ἤθροισται λαός, τῷ ναῷ σου Δαβὶδ Ὅσιε, ὧν προσδέχου τὰς δεήσεις τὰς θερμάς, καὶ παράσχου τούτοις Πάτερ χάριν ἄφθονον.

*Θεοτοκίον.*

Μῆτερ τοῦ Θεοῦ, Θεοτόκε ἀειπάρθενε, συνοχῆς με ἀπολύτρωσαι δεινῆς, καὶ τὸν νοῦν μου θείῳ φόβῳ καταλάμπρυνον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἰάσεις, ὡς πάλαι Πάτερ ἐτέλεις, ἐνεργείᾳ Παρακλήτου τῇ θείᾳ, οὕτω καὶ νῦν, ταχινῆς θεραπείας, τοὺς χαλεπῶς τρυχομένους ἀξίωσον, Δαβὶδ Ὁσίων καλλονή, ὡς θεράπων Θεοῦ ἐνθεώτατος.

Νεκρώσας, ἀπὸ νεότητος Πάτερ, τῆς σαρκός σου τὰ φρονήματα πάντα, τῇ ζωηφόρῳ ἐν σοὶ ἐνεργείᾳ, τὰ τῆς σαρκὸς ἡμῶν πάθη θανάτωσον, καὶ πρὸς ζωὴν τὴν ἀληθῆ, τὰς ἐφέσεις ἡμῶν καθοδήγησον.

Δαιμόνων, ἀποδιώκων τὴν λύμην, τοὺς τῇ μάστιγι αὐτῶν θλιβομένους, τῇ πρὸς Χριστὸν θεραπεύεις πρεσβείᾳ, καὶ τοῖς τυφλοῖς τὸ ὁρᾷν Πάτερ δέδωκας· ἀλλ' ὦ Δαβὶδ θαυματουργέ, καὶ ἡμῖν ἀεὶ δίδου τὴν χάριν σου.

*Θεοτοκίον.*

Ἰλύρος, τῶν ἐν τῷ κόσμῳ φροντίδων, καὶ ματαίων μερίμνων Θεοτόκε, καὶ πολλαπλῶν ἐννοιῶν χαμαιζήλων, τούτων ἁπάντων τὸν νοῦν μου ἀνύψωσον, καὶ πολιτεύεσθαι σεμνῶς, ἐν φρονήσει με Κόρη ἐνίσχυσον.

Διάσωσον, Δαβὶδ παμμάκαρ παντοίων πειρατηρίων, ἱκεσίᾳ τῇ ἐκ σοῦ πρὸς Κύριον, τοὺς ἐξαιτοῦντας τὴν θείαν σου προστασίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Φωτὸς τοῦ θείου πλησθεὶς Πάτερ Ὅσιε, παθῶν τὸν ζόφον φωτὶ τῆς σῆς χάριτος, σκεδάζεις καὶ νέμεις ἑκάστοτε, χαρὰν καὶ ῥῶσιν ψυχῆς τε καὶ σώματος, Δαβὶδ τοῖς πιστῶς προσιοῦσί σοι.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ἡμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷος εἰμί, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἄγγελος ἐν σώματι, τῇ οὐρανίῳ ζωῇ σου, Πάτερ ἀναδέδειξαι, καὶ δοχεῖον ἔμψυχον θείας χάριτος, καὶ ἀεὶ Ὅσιε, νέμεις τοῖς αἰτοῦσι, σωτηρίας τὰ δωρήματα, λύσιν καὶ ἴασιν, πάσης χαλεπῆς περιστάσεως, καὶ νόσους παρεχόμενος, τοῖς εἰλικρινῶς προσιοῦσί σοι· ὅθεν σοι βοῶμεν· μὴ παύσῃ περιέπειν πατρικῶς, καὶ κατευθύνειν πρὸς Κύριον, τοὺς σὲ μακαρίζοντας.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Δαιμονῶντα ὡς πάλαι νεανίαν ἰάσω Πάτερ τῷ λόγῳ σου· οὕτω καὶ νῦν ἁπάσης, δαιμονικῆς ἀπάτης, καὶ

μανίας ἀπάλλαξον, τῶν εὐσεβῶν τὰς ψυχάς, Δαβὶδ θαυματοφόρε.

Ὁ τὸ ἄδυτον φέγγος τῇ ψυχῇ σου πλουτήσας βίου λαμπρότητι, καὶ δοὺς τὸ βλέπειν αὖθις, Δαβὶ τῇ τυφλωθείσῃ, οὕτω φώτισον δέομαι, τοὺς νοεροὺς ὀφθαλμούς, ἡμῶν φωτὶ ἀΰλῳ.

Ὑπηρέτην σε θεῖον τοῦ Σωτῆρος ὡς οἶδεν ὁ εὐσεβὴς βασιλεύς, ἐξέστη ἐν τῷ πλούτῳ, τῶν θείων σου χαρίτων, ἐξ ὧν δίδου ἑκάστοτε, ἡμῖν τοῖς τέκνοις τοῖς σοῖς, ῥανίδα θεοφόρε.

*Θεοτοκίον.*

Γαληνῶς διανύειν τὴν ζωήν μου Παρθένε τῇ προστασίᾳ Σοι, ἀξίωσόν με Κόρη, καὶ φέγγει μετανοίας, ἀπροσκόπτως πορεύεσθαι, ἐνίσχυσόν με ἁγνή, ὁδὸν τὴν πρὸς τὰ ἄνω.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ἐν ταῖς χερσί σου, ἄνθρακας φέρων ἀφλέκτως, φλέξον Ὅσιε ὡς ὕλην μοχθηρίας, πᾶσαν τοῦ βελίαρ, τὴν καθ’ ἡμῶν μανίαν.

Ῥάβδῳ ἁγίᾳ, τῆς προστασίας σου Πάτερ, καθοδήγησόν με πρὸς τρίβον σωτηρίας, Θεσσαλονικέων, τὰς εὐσεβεῖς χορείας.

Ἀγαλλιᾶται, Θεσσαλονίκη ἡ πόλις, τῇ σῇ χάριτι Δαβὶδ θαυματοφόρε, ἣν ἀπαύστως σκέπε, δεινῶν ἐπερχομένων.

*Θεοτοκίον.*

Σύντριψον Κόρη, τῇ κραταιᾷ Σου πρεσβείᾳ, τὴ τοῦ δράκοντος ὀλεθροτόκον πλάνην, τὴν καθοδηγοῦσαν, πρὸς βόθρον ἀπωλείας.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκου.*

Ἱλέωσαι παμμάκαρ, ἡμῖν τὸν Σωτῆρα, ὡς ἂν πταισμάτων συγχώρησιν εὕρωμεν, καὶ Βασιλείας τῆς ἄνω θείαν ἀπόλαυσιν.

Μεγίστων σου ἐπάθλων, Πάτερ ταῖς ἀκτῖσι, λαμπρυνομένη ἡ πόλις σου Ὅσιε, Θεσσαλονίκη προστρέχει ἀεὶ τῇ σκέπῃ σου.

Ὁ μέγας ἐν Ὁσίοις, Δαβὶδ θεοφόρε, Θεσσαλονίκη ὁ στῦλος ὁ πάμφωτος, φῶς σωτηρίας ἀνάτειλον ἐν τῇ πόλει σου.

*Θεοτοκίον.*

Ὑμνοῦμεν Θεοτόκε, τὰ Σὰ μεγαλεῖα, καὶ σὺν Ἀγγέλῳ βοῶμεν τὸ χαῖρέ Σοι· Σὺ γὰρ ἐπήγασας πᾶσι τὴν ἀγαλλίασιν.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῶν Ἀγγέλων ὁ μιμητής, Δαβὶδ θεοφόρε, θείου ἔρωτος θησαυρός· σὺ γὰρ τὸν Σωτῆρα, ἐκ βρέφους ἀγαπήσας, Αὐτῷ ἀπὸ νεότητος ἠκολούθησας.

Ἔρωτι πτερούμενος θεϊκῷ, ἀνῆλθες ἐν δένδρῳ, ὥσπερ ἄσαρκος ἀληθῶς, καὶ πτηνῶν τὸν βίον, ἀνύσας θεοφόρε, πλουσίας ἠξιώθης, ἄνωθεν χάριτος.

Ἄγγελος ὡράθης μετὰ σαρκός, εὐπρεπὴς τῷ εἴδει, καὶ τοῖς τρόποις θεοειδής· ὅθεν βασιλέων, ἐξέπληξας τὰς φρένας, Δαβὶδ τῇ σοὶ δοθείσῃ, πλουσίᾳ χάριτι.

Τῇ σῇ πολιτείᾳ τῇ θαυμαστῇ, ἡ Θεσσαλονίκη, ἡγιάσθη Πάτερ Δαβίδ· ὅθεν καὶ προστρέχει, ἀεὶ τῇ σῇ πρεσβείᾳ, ὡς ἂν ἀπροσδοκήτων, ρύηται θλίψεων.

Τοὺς ἐν εὐλαβείᾳ Πάτερ Δαβίδ, ἀεὶ προσιόντας, τῷ ναῷ σου τῷ ἱερῷ, ῥύου πάσης βλάβης, καὶ πάσης ἐπηρείας, καὶ δίδου τὴν ὑγείαν, ψυχῆς καὶ σώματος.

Μετὰ Δημητρίου τοῦ εὐκλεοῦς, θείου Γρηγορίου, καὶ θεόφρονος Θεωνᾶ, Νέστορός τε ἅμα, Ὁσίας Θεοδώρας, ὑπὲρ ἡμῶν δυσώπει, Δαβὶδ τὸν Κύριον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Ἔχων, παῤῥησίαν πρὸς Χριστόν, Ὃν τῇ ἰσαγγέλῳ ζωῇ σου, Πάτερ ἐδόξασας, πρέσβευε δεόμεθα, ὑπὲρ ἡμῶν ἐκτενῶς, ἵνα πάσης ῥυώμεθα, ὀργῆς καὶ ἀνάγκης, καὶ παντοίων θλίψεων, καὶ περιστάσεων· πίστει γὰρ τῇ σῇ προστασίᾳ, Ὅσιε Δαβὶδ προσιόντες, τῆς σῆς πατρικῆς εὐνοίας τύχοιμεν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

